# ΔΟΚΙΜΕΣ

# ΜΕΤΑΓΡΑΦΩΝ ΚΑΤΑ ΤΑ ΚΩΛΑ

# ΞΕΝΟΦΩΝΤΟΣ ΕΛΛΗΝΙΚΑ

## ΑΠΟΣΠΑΣΜΑΤΑ ΑΠΟ ΤΟ ΣΧΟΛΙΚΟ ΕΓΧΕΙΡΙΔΙΟ

**Βιβλίο 2. Κεφάλαιο 1. §16-24**

ΑΝΝΑ ΔΟΪΡΑΝΛΗ

***Δοϊρανλή Άννα***

**Μεταγραφή κατά τα κώλα–ΞΕΝΟΦΩΝΤΟΣ ΕΛΛΗΝΙΚΑ–Βιβλίο 2. κεφάλαιο 1. §16-32**

**[1.16]**

Οἱ δ’ Ἀθηναῖοι

**ἐκ** τῆς Σάμου ὁ ρ μ ώ μ ε ν ο ι

τὴν βασιλέως κακῶς **ἐποίουν**,

**καὶ** **ἐπὶ** τὴν Χίον καὶ τὴν Ἔφεσον **ἐπέπλεον**,

**καὶ** **παρεσκευάζοντο** **πρὸς** ναυμαχίαν,

**καὶ** **στρατηγοὺς**

πρὸς τ ο ῖ ς ὑ π ά ρ χ ο υ σ ι

**προσείλοντο** **Μένανδρον, Τυδέα, Κηφισόδοτον**.

ΑΝΝΑ ΔΟΪΡΑΝΛΗ

**Μεταγραφή κατά τα κώλα – ΞΕΝΟΦΩΝΤΟΣ ΕΛΛΗΝΙΚΑ – Βιβλίο 2. κεφάλαιο 1. §17**

**[1.17]**

Λύσανδρος δ’

**ἐκ** τῆς Ῥόδου

**παρὰ** τὴν Ἰωνίαν

**ἐκπλεῖ** **πρὸς** τὸν Ἑλλήσποντον

**πρός** τε τῶν πλοίων τὸν ἔκπλουν

καὶ **ἐπὶ** τ ὰ ς ἀ φ ε σ τ η κ υ ί α ς αὐτῶν πόλεις.

**Ἀνήγοντο** δὲ καὶ οἱ Ἀθηναῖοι **ἐκ** τῆς Χίου πελάγιοι·

ἡ γὰρ Ἀσία πολεμία αὐτοῖς **ἦν**.

ΑΝΝΑ ΔΟΪΡΑΝΛΗ

**Μεταγραφή κατά τα κώλα – ΞΕΝΟΦΩΝΤΟΣ ΕΛΛΗΝΙΚΑ – Βιβλίο 2. κεφάλαιο 1. §18**

**[1.18]**

Λύσανδρος δ’

ἐξ Ἀβύδου **παρέπλει** εἰς Λάμψακον

σύμμαχον ο ὖ σ α ν Ἀθηναίων·

καὶ οἱ Ἀβυδηνοὶ καὶ οἱ ἄλλοι **παρῆσαν** πεζῇ.

**ἡγεῖτο** δὲ Θώραξ Λακεδαιμόνιος.

ΑΝΝΑ ΔΟΪΡΑΝΛΗ

**Μεταγραφή κατά τα κώλα – ΞΕΝΟΦΩΝΤΟΣ ΕΛΛΗΝΙΚΑ – Βιβλίο 2. κεφάλαιο 1. §19**

**[1.19]**

Π ρ ο σ β α λ ό ν τ ε ς   δὲ τῇ πόλει

**αἱροῦσι** κατὰ κράτος,

καὶ **διήρπασαν** οἱ στρατιῶται

ο ὖ σ α ν   πλουσίαν   καὶ οἴνου

καὶ σίτου

καὶ τῶν ἄλλων ἐπιτηδείων   πλήρη·

τὰ δὲ ἐλεύθερα σώματα πάντα **ἀφῆκε** Λύσανδρος.

ΑΝΝΑ ΔΟΪΡΑΝΛΗ

**Μεταγραφή κατά τα κώλα – ΞΕΝΟΦΩΝΤΟΣ ΕΛΛΗΝΙΚΑ – Βιβλίο 2. κεφάλαιο 1. §20**

**[1.20]**

Οἱ δ’ Ἀθηναῖοι κατὰ πόδας π λ έ ο ν τ ε ς

**ὡρμίσαντο** τῆς Χερρονήσου ἐν Ἐλαιοῦντι ναυσὶν ὀγδοήκοντα καὶ ἑκατόν.

Ἐνταῦθα δὴ ἀ ρ ι σ τ ο π ο ι ο υ μ έ ν ο ι ς αὐτοῖς

**ἀγγέλλεται** τὰ περὶ Λάμψακον,

καὶ εὐθὺς **ἀνήχθησαν** εἰς Σηστόν.

ΑΝΝΑ ΔΟΪΡΑΝΛΗ

**Μεταγραφή κατά τα κώλα – ΞΕΝΟΦΩΝΤΟΣ ΕΛΛΗΝΙΚΑ – Βιβλίο 2. κεφάλαιο 1. §21**

**[1.21]**

Ἐκεῖθεν δ’ εὐθὺς ἐ π ι σ ι τ ι σ ά μ ε ν ο ι

**ἔπλευσαν** εἰς Αἰγὸς ποταμοὺς ἀντίον τῆς Λαμψάκου·

**διεῖχε** δ’ ὁ Ἑλλήσποντος ταύτῃ σταδίους ὡς πεντεκαίδεκα.

Ἐνταῦθα δὴ **ἐδειπνοποιοῦντο**.

ΑΝΝΑ ΔΟΪΡΑΝΑΗ

**Μεταγραφή κατά τα κώλα – ΞΕΝΟΦΩΝΤΟΣ ΕΛΛΗΝΙΚΑ – Βιβλίο 2. κεφάλαιο 1. §22**

**[1.22]**

Λύσανδρος δὲ

τ ῇ  ἐ π ι ο ύ σ ῃ  νυκτί,

ἐπεὶ ὄρθρος **ἦν**,

**ἐσήμηνεν** εἰς τὰς ναῦς

ἀ ρ ι σ τ ο π ο ι η σ α μ έ ν ο υ ς

**εἰσβαίνειν,**

πάντα δὲ **π α ρ α σ κ ε υ α σ ά μ ε ν ο ς** ὡς εἰς ναυμαχίαν

**καὶ** τὰ παραβλήματα **π α ρ α β ά λ λ ω ν**,

**προεῖπεν**

ὡς μηδεὶς **κινήσοιτο** ἐκ τῆς τάξεως

μηδὲ **ἀνάξοιτο**.

ΑΝΝΑ ΔΟΪΡΑΝΗ

**Μεταγραφή κατά τα κώλα – ΞΕΝΟΦΩΝΤΟΣ ΕΛΛΗΝΙΚΑ – Βιβλίο 2. κεφάλαιο 1. §23**

**[1.23]**

Οἱ δὲ Ἀθηναῖοι

ἅμα τῷ ἡλίῳ ἀ ν ί σ χ ο ν τα ι

ἐπὶ τῷ λιμένι **παρετάξαντο** ἐν μετώπῳ ὡς εἰς ναυμαχίαν.

Ἐπεὶ δὲ οὐκ **ἀντανήγαγε** Λύσανδρος,

καὶ τῆς ἡμέρας ὀψὲ **ἦν**,

**ἀπέπλευσαν** πάλιν εἰς τοὺς Αἰγὸς ποταμούς.

ΑΝΝΑ ΔΟΪΡΑΝΛΗ

**Μεταγραφή κατά τα κώλα – ΞΕΝΟΦΩΝΤΟΣ ΕΛΛΗΝΙΚΑ – Βιβλίο 2. κεφάλαιο 1. §24**

**[1.24]**

Λύσανδρος δὲ

τὰς ταχίστας τῶν νεῶν **ἐκέλευσεν**

***ἕπεσθαι*** τοῖς Ἀθηναίοις,

*ἐπειδὰν* δὲ **ἐκβῶσι,**

**κ α τ ι δ ό ν τ α ς**

***ὅ τι* ποιοῦσιν**

***ἀποπλεῖν***

καὶ αὐτῷ ***ἐξαγγεῖλαι***.

Καὶ οὐ πρότερον **ἐξεβίβασεν** ἐκ τῶν νεῶν

πρὶν αὗται **ἧκον**.

Ταῦτα δ’ **ἐποίει** τέτταρας ἡμέρας·

καὶ οἱ Ἀθηναῖοι **ἐπανήγοντο**.

ΑΝΝΑ ΔΟΪΡΑΝΗ